ες θερμαίνουσαι μᾶλλον τῶν κατάντων; ἢ ὅτι A τοῖς βάρεσιν εἰς τὸ κάτω φέρεσθαι κατὰ φύσιν ἐστὶν, εἰς δὲ τὸ ἄνω παρὰ φύσιν; ἡ οὖν τοῦ θερμοῦ φύσις ἡ φέρουσα ἡμᾶς, πρὸς μὲν τὰ κατάντη οὐδὲν συμπονεῖ, πρὸς δὲ τὰ σιμὰ φορτίζουσα διατελεῖ. ὥστε διὰ μὲν τὴν τοιαύτην κίνησιν ἐκθερμαίνεται μᾶλλον, καὶ τοὺς ἱδρῶτας ἐκκρίνει, καὶ τὸ πνεῦμα περιΐστησιν. συμβάλλεται δέ τι ἐν ταῖς πορείαις, καὶ ἡ τοῦ σώματος σύγκαμψις, πρὸς τὸ μὴ εὐ- B θυπορεῖν τὸ πνεῦμα περιΐστασθαι. λθ Διὰ τί τῶν ἱδρώτων γινομένων, ὅσῳ ἂν ἐπιβάλληταί τις μᾶλλον, οὐχ οἱ πλεῖστα τῶν ἱματίων ἐπιβαλλόμενοι ἱδροῦσι; καὶ περὶ τούτου ταὐτὰ εἰρημένα τῷ ἐπάνω. μ Διὰ τί τῶν σωμάτων ξηροτέρων ὄντων τοῦ θέρους ἢ τοῦ χειμῶνος, ἱδρωτικωτέρως διακείμεθα τοῦ θέρους; ἢ ὅτι τοῦ μὲν θέρους ἀραιῶν τῶν σωμάτων ὄντων, τὸ τῆς φύσεως θερμὸν οὐ πο- C λὺ κατέχεται; διαλύει οὖν τὰ ὑγρὰ εἰς πνεῦμα. τοῦ δὲ χειμῶνος πεπυκνωμένων ἐκτὸς τῶν σωμάτων, πολὺ κατειλημμένον τὸ τῆς φύσεως θερμὸν, εἰς πνεῦμα οὐ διαλύει τὸ ὑγρόν. ἔτι δὲ καὶ τοῦ μὲν θέρους πολὺ προσφερόμεθα τὸ ὑγρὸν, τοῦ χειμῶνος δὲ τοὐναντίον. D μα Διὰ τί οἱ ἀπὸ τοῦ αὐτομάτου γινόμενοι τοῖς ὑγιαίνουσιν ἱδρῶτες, φαυλότεροι δοκοῦσιν εἶναι τῶν ὑπὸ τῶν πόνων; ἢ ὅτι οἱ μὲν πόνοι ἀπαντλοῦντες ἀεὶ τὸ περιττεῦον ὑγρὸν, ξηροτέραν τὴν σάρκα παρασκευάζουσιν· ὥστε τὰς κοιλίας τῶν πόρων ὑγιεινὰς εἶναι, καὶ τῇ τοῦ θερμοῦ διόδῳ μηδεμίαν ἔμφραξιν γίνεσθαι; οἱ δ᾽ αὐτόματοι μὲν προσαγορευόμενοι ἱδρῶτες, γινόμενοι δ᾽ ἐξ E ἀνάγκης, ὅταν ὑπὸ πλείονος ὑγρασίας συγχεομένων τῶν τῆς φύσεως πόρων, τὸ θερμὸν μὴ παντελῶς καταλαμβάνηται, ἀλλ᾽ ἔτι ἀπομάχεσθαι καὶ ἐκκρίνειν αὐτὸ δύνηται, εὐλόγως νόσου σημεῖα φαίνεται. τότε γὰρ ὑπὸ πλείονος ὑγρασίας, ἢ τοῦ συμμέτρου κατὰ φύσιν ψύχεται, ἥ τε σὰρξ, διάβροχος γινομένη, F τὴν κακίστην πρὸς ὑγίειαν διάθεσιν λαμβάνει. μβ Διὰ τί τοῦ χειμῶνος ἱδρῶτες ἧττον γίνονται, καὶ ἡμᾶς οὐχ ὁμοίως παρασκευάζειν βουλόμεθα, ὑγροτέρων ὄντων τῶν σωμάτων τοῦ χειμῶνος; ἢ ἧττον μὲν ἱ-

quaſi amplius calefaciant, quàm decliues? An quòd graui cuique, vt ferri deorſum ſecundum naturam eſt, ſic ferri ſurſum contra naturam eſt. Itaque caloris natura, quæ noſtra prouehit corpora, nihil per decliue laborat, ſic per accliue preſſa onere nititur, acriúſque ab eiuſmodi motum incaleſcit, & ſudorem mouet, & ſpiritum proſiſtit. Quinetiam corporis varius inflexus nonnihil afferre cauſæ poteſt, vt directæ ſpirandi reciprocatio auferatur. 39 Qua de cauſa cùm ſudor moueri ſoleat, quò magis qui ſe operuerit, non ij ſudant, qui veſtem plurimam admiſerunt? Eadem etiam de hoc ratio, quę prius, reddenda eſt. 40 Quam ob cauſam cùm corpora ſicciora magis per æſtatem, quàm hyberno tempore ſint, ſudori magis in æſtate pateamus. An quòd per æſtatem propter corporum laxitatem non multus naturæ calor continetur. Humoréſque proinde reſoluere in ſpiritum poteſt. Per hyemem autem parte exteriori denſata corporum, calor frequens naturæ coercitus, humorem minimè in ſpiritum reſolui patitur. Adhæc, æſtate humoris multum haurimus, hyeme autem è contrario agitur. 41 Cur ſudores qui corpori bene valenti ſponte prouenerint, iis deteriores habentur, quos labores citarint? An quòd labores excreſcentem humorem exhaurientes, carnem efficiũt ſicciorem, vt cauernæ foraminum ſanitati ſint opportunę, & per caloris tranſmiſſionem fieri nulla poſſit obſeptio, ſiue oppilatio. Sudores autem ſpontini appellati, qui ex neceſſitate oriuntur, cùm ſcilicet foraminibus naturæ ab immodico humore confuſis, calor non omnino occupatur, ac vincitur, ſed repugnare adhuc, extruderéque humorem poteſt: hi rectè pro ſignis morbi habentur futuri. Nam etiam calor ipſe à largiori humore, quàm qui modicus ſecundum naturam ſit, hebetatur: & caro plenè madeſcens peſſimum ad ſeçundam valetudinem concipit habitum. 42 Cur tempore hyberno minus oriuntur ſudores, nec nos per id tempus ſudandũ æquè cenſemus, quan uis corpora humidiora tũ cõſtent? An minus ſudamus quoniam humores per hyemem concreti, coactíque ſunt vehementer: quare minus diſſolui tũ queũt. Sudandum autem minimè per hyemem cenſemus, quia corporis eiuſmodi diſpoſitio ſalubris eſt.

δροῦμεν, ὅτι τὰ ὑγρὰ τοῦ χειμῶνος πέπηγε καὶ συνέστηκε σφόδρα; διαλυτώτερα οὖν. οὐχ ὑπολαμβάνομεν δὲ δεῖν ἱδρωτοποιεῖσθαι τοῦ χειμῶνος, διότι ἡ τοιαύτη διάθεσις ὑγιεινή.